τον ὄντως ἐστὶ πολιτικὸν τὸ τῆς ἀριστοκρατίας, τὰ δὲ λοιπὰ ψευδώνυμα, καὶ οὐ κυρίως εἴδη τῆς πολιτικῆς. ἰστέον δέ, ὅτι ἕκαστον εἶδος τούτων οἰκείαν ἔχει ῥητορικήν, ὥστε πέντε εἰσὶ ῥητορικαί, καὶ ἀληθὴς τοίνυν ἐστὶν ῥητορικὴ ἡ τῆς ἀριστοκρατικῆς, ἐφ' ἧς ὁ πολιτικὸς ἄρχει· τότε γὰρ ὑπηρετεῖ ὁ ῥήτωρ τῷ πολιτικῷ πρὸς τὸ πείθειν, ὃν ἂν κελεύσῃ, οἷον ὅτι πεῖσον ἰατρὸν εἶναι ἐν τῇ πόλει, πεῖσον μὴ εἶναι κωμῳδίαν· καὶ ὥσπερ ἰατρὸς πρὸς ἓν μὲν τέλος ὁρᾷ τὸ πάντα κάμνοντα θεραπεῦσαι· ποικίλοις δὲ καὶ οὐ τοῖς αὐτοῖς κέχρηται βοηθήμασιν· οὕτως καὶ ὁ ῥήτωρ πεῖσαι μὲν ὀφείλει πάντως, διαφόροις δὲ λόγοις κέχρηται, ἄλλοις γὰρ πρὸς ἰατρὸν ἄλλοις πρὸς στρατιώτην ἄλλοις πρὸς θῆτα. αὕτη οὖν ἐστὶν ἡ ἀληθὴς ῥητορική· αἱ δὲ ἄλλαι ψευδώνυμοι· πλὴν καὶ ἐπὶ τῶν ἄλλων πολιτειῶν οὐ τὰ αὐτὰ εἰσὶν τὰ πάθη, ἀλλὰ τὰ μὲν μᾶλλον τὰ δὲ ἧττον. οἷον τὸ φιλήδονον κάκιστον οὐκοῦν καὶ ἡ περὶ τούτου ῥητορικὴ κακίστη· διὰ τοῦτο καὶ Δημοσθένης ἐκβάλλει αὐτὴν καὶ σκώπτει τὸν λέγοντα· τί βούλεσθε; τί γράψω; τί ὑμῖν χαρίσωμαι; ὅσαι δὲ ῥητορικαὶ περὶ τὸ φιλότιμον μᾶλλον, καὶ τὸ σώζειν ὁπωσουνδήποτε τὴν πόλιν καταγίνονται, αὗται ὡς ἐνδέχεται κρείττους εἰσὶ τούτων τῶν ῥητορικῶν· ἦσαν αἷς ἐκέχρηντο οἱ περὶ Δημοσθένη καὶ Περικλέα καὶ Θεμιστοκλέα· ὅτι μὲν γὰρ ὅλως ἔσωζον τὴν πόλιν, καλῶς ἐποίουν· ὅτι δὲ ἠνείχοντο δημοκρατουμένης αὐτῆς καὶ οὐκ ἐλάμβανον ἑαυτούς, κακῶς. ἰστέον δέ, ὅτι οὐ διὰ τοῦτο κόλακας αὐτοὺς ὁ Πλάτων λέγει, ὡς φησὶν ὁ Ἀριστείδης. πῶς γὰρ κόλακες οἱ ἐξοστρακισθέντες; διακόνους δὲ αὐτοὺς καλεῖ· δεῖ γὰρ εἰδέναι, ὅτι ὁ διακονῶν τοῦ κελεύοντος διακονεῖν χείρων ἐστίν· ὥσπερ οὖν ὁ μὲν ἰατρὸς ἐπιτάττει, ὁ δὲ πημεντάριος διακονεῖ τὰ πρὸς τὴν χρείαν εὐτρεπίζων, οὕτως καὶ οἱ περὶ τὸν Θεμιστοκλέα ἔσωζον μὲν τὴν πόλιν, διακόνων δὲ διὰ τοῦτο χρείαν παρεῖχον· πολιτικοῦ γὰρ τὸ κελεύειν σώζειν·

---

17 Demosth. orat. III 22 25 Plat. Gorg. 522 d; Alcib. I 120 b Aristid. orat. XLVI 26 Plat. Gorg. 517 c

---

6 οἷον supr. add. M[c] 18 χαρίσωμαι scripsi χαρήσομαι M 28 πημεντάριος ς πιμεντάριος M

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408547804/21 UNIVERSITÄT LEIPZIG